κατὰ τὴν τοῦ πατρός ποτε πολιτείαν. καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέσθαι, ἄρας παρέπλει
τὴν Ἰταλίαν. καὶ ἁρπασθεὶς ὑπ' ἀνέμου κατὰ τὸν Τεριναῖον κόλπον, ὃς ἐκπνεῖ ταύτῃ
μέγας κατὰ βορέαν ἑστηκώς, ἀποφέρεται ἐς τὸ πέλαγος. καὶ πάλιν χειμασθεὶς ἐς τὰ μά-
λιστα, τῷ Τάραντι προσμίσγει. καὶ τὰς ναῦς ὅσαι ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος ἀνελ-
κύσας ἐπεσκεύαζεν. ὁ δὲ Νικίας πυθόμενος αὐτὸν πλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν
νεῶν ὅπερ καὶ οἱ Θούριοι ἔπαθον. καὶ λῃστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν.
καὶ οὐδεμίαν φυλακήν πω ἐποιεῖτο. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους
καὶ Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ ξύμμαχοι. καὶ τῆς γῆς τὴν πολ-
λὴν ἐδῄωσαν. καὶ οἱ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν. αἵπερ τὰς σπον-
δὰς φανερώτατα πρὸς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν. πρότερον μὲν γὰρ λῃστείαις
ἐκ Πύλου καὶ περὶ τὴν ἄλλην Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες
μετά τε Ἀργείων καὶ Μαντινέων ἐπολέμουν. καὶ πολλάκις Ἀργείων κελευόντων ὅσον
σχόντας μόνον ξὺν ὅπλοις ἐς τὴν Λακωνικήν. καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας
ἀπελθεῖν οὐκ ἤθελον. τότε δὲ Πυθοδώρου καὶ Λαισποδίου καὶ Δημαράτου ἀρχόντων
ἀποβάντες, ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰς καὶ ὅσα ἄλλα ἐδῄωσαν τῆς γῆς. καὶ
τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους ἀμύνεσθαι
ἐποίησαν. ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ καὶ τῶν Λα-
κεδαιμονίων, οἱ Ἀργεῖοι ἐσβαλόντες ἐς τὴν Φλιασίαν, τῆς τε γῆς αὐτῶν ἔτεμον.
καὶ ἀπέκτειναν τινάς. καὶ ἀπῆλθον ἐπ' οἴκου: + + +

Τέλος τοῦ Θουκυδίδου ἱστοριῶν τῆς ἕκτης:

## Θουκυδίδου ἱστοριῶν ἑβδόμη

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_84/0329